πόσιν ἐμὸν ἔχομεν, ἔχομεν ὃν ἔμενον,
ἔμενον ἐκ Τροίας πολυετῆ μολεῖν.
ΜΕ. ἔχεις, ἐγώ τε σέ᾽· ἡλίους δὲ μυρίους
μόγις διελθὼν ᾐσθόμην τὰ τῆς θεοῦ.
ἐμὰ δὲ δάκρυα χαρμονᾷ πλέον ἔχει
χάριτος ἢ λύπας.
ΕΛ. τί φῶ; τίς ἂν τάδ᾽ ἤλπισεν βροτῶν ποτε;
ἀδόκητον ἔχω σε πρὸς στέρνοις.
ΜΕ. κἀγὼ σὲ τὴν δοκοῦσαν Ἰδαίαν πόλιν
μολεῖν Ἰλίου τε μελέους πύργους.
πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης;
ΕΛ. ἓ ἕ· πικρὰν ἐς ἀρχὰν βαίνεις,
ἓ ἕ· πικρὰν δ᾽ ἐρευνᾷς φάτιν.
ΜΕ. λέγ᾽· ὡς ἀκουστὰ πάντα δῶρα δαιμόνων.
ΕΛ. ἀπέπτυσα μὲν λόγον, οἷον οἷον ἐσοίσομαι.
ΜΕ. ὅμως δὲ λέξον· ἡδύ τοι μόχθων κλύειν.
ΕΛ. οὐκ ἐπὶ λέκτρα βαρβάρου νεανία
πετομένας κώπας,
πετομένου δ᾽ ἔρωτος ἀδίκων γάμων . . .
ΜΕ. τίς ⟨γάρ⟩ σε δαίμων ἢ πότμος συλᾷ πάτρας;
ΕΛ. ὁ Διὸς ὁ Διός, ὦ πόσι, ⟨Μαίας τε⟩ παῖς
μ᾽ ἐπέλασεν Νείλῳ.
ΜΕ. θαυμαστά. τοῦ πέμψαντος; ὢ δεινοὶ λόγοι.
ΕΛ. κατεδάκρυσα καὶ βλέφαρον ὑγραίνω
δάκρυσιν· ἁ Διός μ᾽ ἄλοχος ὤλεσεν.
ΜΕ. Ἥρα; τί νῷν χρῄζουσα προσθεῖναι κακόν;